ἷξον δὲ σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ,
καί ῥ᾽ ὁ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου, ἔνθεν ἀνέστη
Ἑρμείας, νύμφη δὲ τίθει πάρα πᾶσαν ἐδωδήν,
ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
αὐτὴ δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,
τῇ δὲ παρ᾽ ἀμβροσίην δμωαὶ καὶ νέκταρ ἔθηκαν.

186. **ὅρκος**: *oath-token*, the power invoked to bind the oath-taker and punish him if the oath is broken. Acc. to Hesiod, when a god was to take an oath, Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι | τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ *Theog.* 784 f.

187. The verse is made to do duty here as though ἴστω νῦν τόδε of 184 suggested ὄμνυμι, and ἐμέ as subj. of the infinitive. *Cf.* 178 f.

188 f. **μέν**: for μήν. — **ἅσσα**: ἅτινα, ἅ. — **ὅτε**: equiv. to εἴ ποτε *in case ever*. — **τόσον**: adv., *in such degree, so strongly.*

190 f. **καὶ ἐμοί**: *in my case too*, as well as in that of other gods. — **ἐναίσιμος**: pred. — **σιδήρεος**: *cf.* the formula σιδήρειόν νύ τοι ἦτορ Ω 205 = 521.

Vs. **192–227.** *Calypso and Odysseus return to the grotto, where the goddess tries in vain to persuade the hero to remain with her forever.*

192 f. = β 405 f. (Παλλὰς Ἀθήνη) = γ 29 f. = η 37 f. — **μετ᾽ ἴχνια**: *after, according to, i.e. in the steps.*

194. **ἷξον**: Att. ἀφίκοντο. — **σπεῖος**: *cf.* 57, 63. The length of penult here cannot be explained except as metri gratia. Nauck reads δὲ σπέος ἐς. In 226 the form σπείους resolves into σπέεος.

195. The second hemistich occurs also σ 157 = ψ 164 = φ 139, 166.

196 f. **πᾶσαν**: equiv. to παντοίην, further explained and limited by οἷα (*such as*) . . . ἔδουσιν. *Cf.* ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες γ 480.

198 = π 53 (αὐτός) = Ι 218.

199. **δμωαί**: these are mentioned only here. Circe more naturally has attendants in κ 348 ff., μ 18 f., and possibly hers suggested these. Calypso is prob. a later poetical creation.

οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
τοῖς ἄρα μύθων ἦρχε Καλυψὼ δῖα θεάων·
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
εἴ γε μὲν εἰδείης σῇσι φρεσίν, ὅσσα τοι αἶσα
κήδε' ἀναπλῆσαι πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
ἀθάνατός τ' εἴης, ἱμειρόμενός περ ἰδέσθαι

200. The formula occurs fifteen times in Homer, usually followed by αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο, as in θ 71 f. — **ὀνείατα**: *refreshments* (ὀνίνημι). The pl. is always used of food, except in τοσσάδ' ὀνείατ' ἄγοντα Ω 367, of Priam with the ransom for Hector's body. — **ἑτοῖμα**: *in readiness*, pred. after προκείμενα.

201 = Λ 780 (-ημεν), a variation on the formula cited on 200. Vergil has postquam exempta fames epulis mensaeque remotae (et amor compressus edendi) *Aen.* i. 216, viii. 184. — **ἐδητύος**: for other constructions, with τέρπομαι, of that which furnishes the enjoyment, *cf.* α 369 (partic.), δ 239 (dat.).

202. τοῖς ἄρα: *for them then*, always in a temporal apod., as γ 68 = Β 433, χ 261 = ω 490. *Cf.* τοῖσι δέ α 28, opening the same formula, and likewise used when only two are conversing, as in η 47, ν 374 (where dual forms immediately precede), *etc.*

203 f. = Β 173 f., Athene speaking. The first verse occurs besides fourteen times in the *Odyssey* and seven times in the *Iliad.*

204 = Β 158, Here speaking to Athene, of the Achaeans rushing pell-mell to their ships. — **οὕτω δή**: *thus indeed*, marking inference from previous conversation or observation, and introducing as a question what one would gladly disbelieve. *Cf.* οὕτω δή, Μελάνιππε, μεθήσομεν; Ο 553.

205. σὺ . . . ἔμπης: *yet fare thee well even nevertheless*, *i.e.* in spite of thy desire to leave me, who am so eager to keep thee.

206 f. ὅσσα . . . ἀναπλῆσαι: *cf.* εἴπω θ' ὅσσα τοι αἶσα δόμοις ἔνι ποιητοῖσιν | κήδε' ἀναπλῆσαι (*add to thy cup, i.e. endure*) ν 306 f.

207. The second hemistich occurs also δ 823 = ν 426 = ο 30, ε 301.

208. ἐνθάδε αὖθι: *here in this place*, αὖθι having an intensive force, like αὐτοῦ. *Cf.* αὐτοῦ ἔνθα Θ 207, ὣς αὔτως γ 64. — **σὺν . . . φυλάσσοις**: *wouldst dwell here with me. Cf.* our 'keep house,' and ζ 183 f.

209. ἱμειρόμενός περ: concessive participle, intensive particle.

σὴν ἄλοχον, τῆς τ' αἰὲν ἐέλδεαι ἤματα πάντα.
οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι
οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ἔοικεν
θνητὰς ἀθανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν."
  τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"πότνα θεά, μή μοι τόδε χώεο. οἶδα καὶ αὐτὸς
πάντα μάλ', οὕνεκα σεῖο περίφρων Πηνελόπεια
εἶδος ἀκιδνοτέρη μέγεθός τ' εἰσάντα ἰδέσθαι·
ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ' ἀθάνατος καὶ ἀγήρως·
ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.

210. **τῆς . . . πάντα**: *cf.* ἧς τ' αὐτὸς ἐέλδομαι κτλ. Ξ 276, and the imperfectly attested ἧς τ' αἰὲν ἐέλδεαι κτλ. Ξ 269. In α 409 and E 481 ἔλδομαι is construed with the accusative. ἤματα πάντα here means *all the while*. The context sometimes requires the meaning *all one's life*, sometimes *forever*.

211. **εὔχομαι εἶναι**: hardly more than εἰμί.

212. The first hemistich occurs also in η 210, A 115. — **οὔ πως οὐδέ**: *by no means*, *no indeed*, the double negative being very emphatic. This should be the interpretation in οὐ μέν σ' οὐδὲ ἐῶσι *not indeed, nay they do not allow thee* δ 805.

213. **εἶδος**: *looks*, *countenance*, a substitute for φυήν (*growth*, *figure*) required by the metre. Both refer to the external appearance, — δέμας (*build*) to the *frame*.

215. **τόδε**: *thereat*, *thus*, adv. cognate acc., defining the action of the verb. So Penelope says to Odysseus αὐτὰρ μὴ νῦν μοι τόδε χώεο μηδὲ νεμέσσα ψ 213. *Cf.* τὸ μὲν κεχολῶσθαι σ 227, τὸ δ' ἐμὸν κῆρ | ἄχνυται Z 523, κοτεσσαμένη τόγε θυμῷ Ξ 191, κείνῳ τόδε μὴ χαράσσου Eur. *Med.* 157.

216. **οὕνεκα**: *namely that*, introducing appositional explanation of πάντα. Its original force was causal, *inasmuch as*. 'The fact told or known is originally given as the ground of the saying or knowing.' M. 268. *Cf.* ν 309, ο 42, π 330, 379, where the conj. follows verbs of 'saying.' A good example of transitional meaning, as here, is η 300. A single example in the *Iliad* is possibly πεύθετο . . . οὕνεκ' Ἀχαιοὶ | ἐς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον Λ 21 f.

217. **εἰσάντα ἰδέσθαι**: *for one to look upon*. The later relation of purpose in the inf. develops from this one of mere reference. *Cf.* ἐκέκαστο | ὄρνιθας γνῶναι β 158 f.

219. The first hemistich occurs also A 116, the second Ξ 276.

220 = γ 233, θ 466. — **νόστιμον ἦμαρ**: *return-day*, poetic periphrasis for νόστον (§ 2 *s*).

εἰ δ' αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυμόν·
ἤδη γὰρ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω."
ὣς ἔφατ', ἠέλιος δ' ἄρ' ἔδυ καὶ ἐπὶ κνέφας ἦλθεν·
ἐλθόντες δ' ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο
τερπέσθην φιλότητι, παρ' ἀλλήλοισι μένοντες.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ' Ὀδυσσεύς,
αὐτὴ δ' ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ' ἰξυῖ

221. **ῥαίῃσι**: sc. *μέ*, which is expressed in ζ 326. The vivid subjv. is natural after 206 f.

223 = θ 155 (ὃς πρὶν μέν), Ι 492 (ὣς ἐπὶ σοί).

224 = ρ 285. — **κύμασι καὶ πολέμῳ**: *i.e.* by sea and land. — **μετά**: prep. with *τοῖσι*. See on 155. — **καὶ τόδε**: *this too*, *i.e.* the impending disaster.

225 = γ 329. — **ἐπὶ** κτλ.: *on darkness came.* *ἐπί* is adverbial.

226 f. **ἐλθόντες τώ γε**: the pl. partic. is a metrical convenience. M. 173. 2. — **μυχῷ**: local dat. with *τερπέσθην*. The whole hemistich is an adaptation of the formula *μυχῷ δόμου ὑψηλοῖο* η 346.

Vs. 228-261. *Odysseus builds himself a barge.*

228. A dawn-formula, occurring twenty times in the *Odyssey*, and Α 477, Ω 788. — **ἦμος**: *as soon as*, of def. time in the past. — **ῥοδοδάκτυλος**: see on 121.

229. For the 'hysteron proteron' in the description, see § 2 *u*. The outer garment of course strikes the mind's eye first. Often, however, it is metrical convenience that decides the order of mention. — **χλαῖναν**: *mantle*, the usual term in Homer for the man's outer garment, which the later Greeks called *ἱμάτιον*. It is sometimes called *φᾶρος* also (ζ 214, η 234, θ 84).

230–232 = κ 543–545 (with *ἐπέθηκε* for *ἐφύπερθε*).

230. **φᾶρος**: *robe*, used here only (instead of *πέπλος*) of the garment for females corresponding to the men's *χιτών* (see on ζ 38). It usually consisted of a long rectangular piece of cloth, somewhat wider than the height of the wearer, looped up from beneath the left arm upon both shoulders, open on the right side, girt at the waist, and flowing in full folds down to the feet. See Baumeister's *Denkmäler*, p. 381. The epith. *ἀργύφεον* indicates that the stuff was bleached.

231. **περί**: *round about*, adv. with *βάλετο*. Between a prep. and a case governed by it can come only par-

καλὴν χρυσείην, κεφαλῇ δ' ἐφύπερθε καλύπτρην.
καὶ τότ' Ὀδυσσῆι μεγαλήτορι μήδετο πομπήν·
δῶκέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσιν,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
στειλειὸν περικαλλὲς ἐλάινον, εὖ ἐναρηρός·
δῶκε δ' ἔπειτα σκέπαρνον ἐύξοον· ἦρχε δ' ὁδοῖο
νήσου ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκειν,
κλήθρη τ' αἴγειρός τ', ἐλάτη τ' ἦν οὐρανομήκης,
αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς.

ticles, enclitics, or attrib. genitives. When other words intervene, the prep. is to be regarded as an adv., either closely united with the verb, forming with it a combination on which the case depends ("she cast a girdle about her waist"), or, more loosely, expressing in advance the relation between the act of the verb and the thing denoted by the case ("about her she cast a girdle at her waist"). — **ἰξυῖ**: local dative.

232. **χρυσείην**: not solid, but of golden ornamentation. — **ἐφύπερθε**: with almost deictic force. *Cf.* ὕπερθεν 184, κεφαλή τ' ἐφύπερθέ τε χαῖται δ 150, and Longfellow's *Weathercock*, 'above there, over the tower of the church.' — **καλύπτρην**: *veil*, from its office; called also κρήδεμνον, from that which it covered (κάρη). See on ζ 100.

233. **μήδετο πομπήν**: Calypso contrives to overcome the inability professed in 140 ff.

234. The second hemistich is used also of the potter's wheel in Σ 600. Any implement may be called '*handy*.'

235. **ἀμφοτέρωθεν ἀκαχμένον**: *doubly sharpened*, *i.e.* either double-edged, or, possibly, brought to an edge on one side for hewing, and to a point on the other for splitting or piercing. — **αὐτῷ**: the head *itself*, as contrasted with its edge.

236. **στειλειόν**: *helve*, *sc.* ἦν.

237. **σκέπαρνον**: *adze*. Nothing further is known of this tool than that it was smaller than the axe (ι 391), and used to smooth timber already hewn. The first and roughest part of the shaping was done with the axe. *Cf.* 244 f., and for the short syllable before the word, see § 41 *i* ε. — **ὁδοῖο**: *on the way*, local genitive.

238. **νήσου ἐπ' ἐσχατιῆς**: *i.e.* to the sea-shore. *Cf.* the first hemistich of 489. With this reading (see App.), the gen. with ἐπί after a verb of motion must be added to the few cases cited in the note on νήσου ἔπι γ 171 (M. 200, 3).

239. See on 64.

240. **αὖα πάλαι**: *i.e.* dead, but still standing, οὐκέτι θάλλοντα οὐδὲ ὑγρά (Schol.); a necessary substitute for long-seasoned timber. — **περίκηλα**: *very dry*, found only here and σ 309. Perhaps the -κηλος of the second part

αὐτὰρ ἐπεὶ δὴ δεῖξ', ὅθι δένδρεα μακρὰ πεφύκειν,
ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψὼ δῖα θεάων,
αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
εἴκοσι δ' ἔκβαλε πάντα, πελέκκησεν δ' ἄρα χαλκῷ,
ξέσσε δ' ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴθυνεν.
τόφρα δ' ἔνεικε τέρετρα Καλυψὼ δῖα θεάων·
τέτρηνεν δ' ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισιν,
γόμφοισιν δ' ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρασσεν.
ὅσσον τίς τ' ἔδαφος νηὸς τορνώσεται ἀνὴρ

is connected with the κήλεος of ἐν πυρὶ κηλέῳ θ 435.—**τά οἱ** κτλ.: *these float buoyantly for him.* The opt. is usually explained as representing the thought of Circe. G. 1502, 4; H. 937; GMT. 700.

243 ff. **δοῦρα**: *timber*, here dead trees still standing. See on ζ 167.—**ἤνυτο**: impf. as if from a pres. ἄνυμι (ἀνύω). After the impfs. of general description in this verse, there follow aors. for the distinct features of the work.

244 f. **ἔκβαλε**: *felled, cast* down *from* their places.—**πάντα**: *in all.*—**πελέκκησεν**: *trimmed*, lit. *axed.* The finer shaping (ξέσσε) was done with the σκέπαρνον. The κκ of this word arises from κυ, κϝ (πέλεκυς).—**χαλκῷ**: as in 162.

245 = ρ 341, φ 44. *Cf.* ψ 197 (εὖ καὶ . . . ἴθυνα), and φ 121, where the second hemistich is used of a row of axes set in the ground.—**στάθμην**: a thong stained with some bright color, then stretched straight along the wood and snapped; our chalk-line. *Along them he stretched the line,* to guide him in making sides and edges straight.

246. **τόφρα**: *meanwhile*, as in 258, ι 47.

247. **πάντα**: adv., *everywhere, i.e.* where cross-pieces were to run, *thoroughly.* So ἑρμῖν' ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρῳ ψ 198.—**ἥρμοσεν ἀλλήλοισιν**: *fitted* the timbers *to each other, i.e.* laid them alongside of one another as they were to be pinned together. This would naturally precede the boring, and we prob. have here another 'hysteron proteron.'

248. **γόμφοισιν καὶ ἁρμονίῃσιν**: *with pins and girders*, strips of wood laid at right angles across the timbers, and fastened to them by wooden pins.—**τήν γε . . . ἄρασσεν**: *hammered her* (sc. σχεδίην, as in 261) together. The acc. is 'factitive,' the result of the action. G. 1055; H. 714.

249. **ἔδαφος**: *bottom*, the flooring in the hold.—**τορνώσεται**: *shapes out, designs*, found only here and Ψ 255, where the Myrmidons *marked out* a circular space for the tomb of Patroclus. The form is aor. subjv., as often in Homeric similes. See G. 1438; H. 914 b. The comparison is one of size, not shape, since the σχεδία is flat-bottomed.

φορτίδος εὐρείης, ἐὺ εἰδὼς τεκτοσυνάων,
τόσσον ἔπ' εὐρεῖαν σχεδίην ποιήσατ' Ὀδυσσεύς.
ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσιν,
ποίει· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.
ἐν δ' ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ·
πρὸς δ' ἄρα πηδάλιον ποιήσατο, ὄφρ' ἰθύνοι.
φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσιν
κύματος εἶλαρ ἔμεν· πολλὴν δ' ἐπεχεύατο ὕλην.
τόφρα δὲ φάρε' ἔνεικε Καλυψὼ δῖα θεάων
ἱστία ποιήσασθαι· ὁ δ' εὖ τεχνήσατο καὶ τά.
ἐν δ' ὑπέρας τε κάλους τε πόδας τ' ἐνέδησεν ἐν αὐτῇ,

250. The first hemistich occurs also ι 323, following *νηὸς ἐεικοσόροιο μελαίνης*. The verse expands, in chiastic order, the *τίς* and *νηός* of 249.

251. **τόσσον ἔπι**: *over so much*, *i.e. so*, qualifying *εὐρεῖαν*. *Cf.* *ὅσον τ' ἐπὶ ἥμισυ πάσης* ν 114, *as much as half her whole length*.

252. **ἴκρια**: see on 163. He set up the *ribs* all round the floor (*ἔδαφος*) of the barge, closely together, so that they formed walls or sides, and reenforced them by *braces* (*σταμίνεσσι*) running at frequent intervals from side to floor, designed to withstand the inward pressure of the water.

253. **ποίει**: *he worked away*. — **ἀτὰρ . . . τελεύτα**: *he finished* or *topped off* the sides of the barge with *long binders*, which stretched across from one braced rib to another, and together formed a continuous gunwale.

254. **ἐπίκριον**: *sail-yard* (lit. *mast-attachment*), found only here and 318. Originally it was fixed to the mast, and raised or lowered with it.

255. **πρός**: *besides* (lit. *thereto*, or *therefor*). — **πηδάλιον**: not a fixed rudder, but a large oar or sweep. Larger craft had two.

256. *And he fenced it with withes all round*, *i.e.* he built a light breastwork of willow mats all round the gunwale, to keep out the spray or dashing waves. *Cf.* *ῥινοῖσι βοῶν φράξαντες ἐπάλξεις* (*ramparts*) M 263, *φάρξαι πόλισμα* Aesch. *Sept.* 63, *φραγμὸν παρείρυσαν ἔνθεν καὶ ἔνθεν* Hdt. vii. 36 *ad fin.*

257. **εἶλαρ**: pred. to the subj. acc. of *ἔμεν*, which must be supplied from *ῥίπεσσι*. — **πολλὴν . . . ὕλην**: *and scattered much small-wood upon it*, *i.e.* covered the rough floor of the barge with leafy boughs, as over the rough floor of Xerxes' bridge *ὕλην ἐπεφόρησαν* Hdt. vii. 36 *ad fin.* The Scholia interpret *ὕλην* as *ballast*; *ξύλα, λίθους, ψάμμον.*

258. **φάρεα**: *robes*. See on 230. So the *ἑανός* is put to general use as a shroud for a funeral vase, Ψ 254.

260. **ἐν**: *therein*, adv., doubly renewed at the close of the verse. *Cf.* ζ 77 f., *ἐν ἑκάστῃ πεντήκοντα | ἐμβέβα-*

μοχλοῖσιν δ' ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.
  τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·
τῷ δ' ἄρα πέμπτῳ πέμπ' ἀπὸ νήσου δῖα Καλυψὼ
εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα.
ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο
τὸν ἕτερον, ἕτερον δ' ὕδατος μέγαν, ἐν δὲ καὶ ἦα
κωρύκῳ· ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά.
οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε·

σαν B 719 f. — **ὑπέρας**: *braces*, ropes running from the end of the sail-yard to the deck, by means of which the top of the sail could be properly adjusted to the wind. — **κάλους**: *stays*, fore and aft ropes holding the mast firm, the πρότονοι and ἐπίτονος of β 425, μ 423. — **πόδας**: *sheets*, ropes attached to the two lower corners of the sail, by means of which the lower part of the sail was adjusted to the wind, as the upper part by the ὑπέραι.

261. κατείρυσεν: *heaved down, i.e. launched*, in this case not by dragging, but by prying (μοχλοῖσιν).

Vs. 262–281. *Calypso sends Odysseus off, with clothing, food, and a fair wind. He sights Phaeacian Scheria.*

262. καὶ τῷ: *and for him*, co-ordination instead of *when, etc.*, as in θ 417. The later subordination occurs after the same hemistich in ὅτε . . . νῆας εἴσας | ἵστασαν γ 180 ff.

263–280. Condensed in the narrative of Odysseus η 264–269.

263. τῷ πέμπτῳ: *on that* (following) *fifth* day, with formulaic dem. article. *Cf.* τῷ δέ οἱ ὀγδοάτῳ *but in that eighth year* γ 306. M. 259, 1.

264. ἀμφιέσασα, λούσασα: another 'hysteron proteron.' See on 229, and *cf.* θ 454 f. For λούσασα, see on ζ 210.

265. ἀσκόν: *cf.* αἴγεον ἀσκὸν ἔχον μέλανος οἴνοιο ι 196. Leathern bottles (as in New Testament practice) were used for the smaller quantities taken on journeys. The Silenus of the Munich Glyptothek (No. 98) clasps the neck of such a wine-skin. See Baumeister's *Denkmäler*, p. 1640.

266 f. τὸν ἕτερον: *that one;* the dem. prepares the way for the following contrast. — **μέγαν**: a Scholiast would confine this adj. to the second ἕτερον, and explain by allusion to the practice of mixing wine with water. — **ἐν δέ**: *and therein*, a species of 'epanalepsis' (§ 2 *p*), with the verb omitted. *Cf.* ι 212 f. — **ἦα**: *provisions*, neut. pl., not to be confounded with the impf. of εἶμι. These were the σῖτον of 165, meal or bread. — **κωρύκῳ**: *wallet*, also of leather. *Cf.* ἄλφιτα . . . | δέρμασιν ἐν πυκινοῖσιν β 291. — **ὄψα**: *cooked bits* of meat, the 'relish' for bread and wine, as in γ 480, ζ 77. In the sing. the word may denote other relishes, πᾶν τὸ μετὰ ἄρτου ἐσθιόμενον (Schol.).

268 = η 266. The second hemistich follows ὕπνον in Ξ 164.

γηθόσυνος δ' οὔρῳ πέτασ' ἱστία δῖος Ὀδυσσεύς.
αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως
ἥμενος, οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν
Πληιάδας τ' ἐσορῶντι καὶ ὀψὲ δύοντα Βοώτην
ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο·

269. **πέτασε**: *spread*, *i.e.* unfurled from the *ἐπίκριον*. See on 254.

271. **ὕπνος . . . ἔπιπτεν**: occurs also *β* 398, *ν* 79.

272. *Cf.* *Πληιάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος* Σ 486. — **Πληιάδας**: *Voyagers* (*πλέω*), adopting the seaman's etymology of Hesiod; the constellation of seven stars in the southern sky, whose rising in May ushered in the summer season, when voyages were safest. Its setting, about the first of November, marked the beginning of the stormier winter. Ancient hunter's etymology also connected the name with *πελειάδες* *pigeons*, and they were thought of as flying before the hunter Orion. — **ὀψὲ δύοντα Βοώτην**: *the late-setting Ploughman.* This name occurs only here in Homer, and denotes a northern constellation later called *Ἀρκτοφύλαξ*, or, after another of its stars, *Ἀρκτοῦρος*. The first name is plainly borrowed from the farmer's astronomy rather than the hunter's or sailor's, like *ἄμαξα* for *ἄρκτος* (273). 'The constellation was invented to drive the Wain, as Arctophylax to guard the Bear, the same group in each case going by a double name.' The constellation is *late-setting* either because its brightness kept it visible longer than others in the morning, or because, from its shape, it took more time to pass below the horizon than others. Its setting marks a stormy period also in *χωρίων ὅτ' ἐπ' Ὠκεανῷ πόδας ἴσχει* Theoc. vii. 54.

273-275 = Σ 487–489, where Hephaestus adorns the shield of Achilles with heaven and all the constellations.

273. **ἄρκτον**: the Great Bear constellation in our northern sky, now popularly called the 'Big Dipper,' then the 'Waggon,' from some fancied resemblance. — **ἐπίκλησιν**: *by sur-name.* *Cf.* *ὄνομ' ἐπώνυμον* *η* 54.

274. **αὐτοῦ**: *on the same course*, *i.e.* round the North pole, below which its orbit never carries it far enough to bring it below the horizon. — **Ὠρίωνα δοκεύει**: *watches* anxiously *Orion* the hunter. This fancy sprang from the fact that just as Orion rises on the eastern horizon, the Bear also begins to rise from the lowest point of her orbit round the pole, and so seems to be retreating from her enemy, the hunter, as if frightened from her bath.

275. **οἴη**: *sc.* of the Northern constellations which had been grouped and named at that time. There are others now named which never set. — On this whole passage, consult the

τὴν γὰρ δή μιν ἄνωγε Καλυψὼ δῖα θεάων
ποντοπορευέμεναι ἐπ' ἀριστερὰ χειρὸς ἔχοντα.
ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων,
ὀκτωκαιδεκάτῃ δ' ἐφάνη ὄρεα σκιόεντα
γαίης Φαιήκων, ὅθι τ' ἄγχιστον πέλεν αὐτῷ·
εἴσατο δ' ὡς ὅτε ῥινὸν ἐν ἠεροειδέι πόντῳ.
  τὸν δ' ἐξ Αἰθιόπων ἀνιὼν κρείων ἐνοσίχθων
τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ

chapter 'Homeric Astronomy' in Miss Clerke's *Familiar Studies in Homer.*

276 f. **τήν**: obj. of ἔχοντα, which agrees with μιν.

277. **ποντοπορευέμεναι ἔχοντα**: *i.e. to keep as he traversed the deep*, the partic. containing the main idea. — **ἐπ' ἀριστερὰ χειρός**: *on the left hand.* The neut. pl. is treated as a subst., and is limited by the gen., instead of ἐπ' ἀριστερὰν χεῖρα. This neut. pl. occurs without dependent gen. γ 171, B 526, *etc.*, and ἐπὶ δεξιά H 238, M 239. The dependent gen. is χειρός only here, but other gens. are frequent in the *Iliad*: μάχης E 355, νηῶν M 118, στρατοῦ N 326. The voyage of Odysseus is thought of as from W. to E., and as occurring in the autumn, when nights are cool (472, η 13).

278 f. = η 267 f. (πλέον).

279. **σκιόεντα**: *dark*, an epith. also of νέφεα and μέγαρα.

280. **ὅθι . . . αὐτῷ**: *where it* (*sc.* γαῖα) *was at the nearest to him.* The intensive αὐτῷ has slight if any contrasting force, *i.e.* its use approaches the Attic.

281. **εἴσατο**: *appeared*, *sc.* γαῖα. — **ὡς ὅτε**: *like.* Originally a present tense of the preceding verb was repeated in thought, *as when*, *etc. Cf.* Ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα B 394. — **ῥινόν**: either *hide* (δέρμα βοός), or *buckler*, *shield.* In either case the distant land looms low and extended on the horizon, its mountains mere protuberances. The word is fem. elsewhere in Homer, unless it be neuter in αὐτὰρ ὅ γ' ἥρως | εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο K 154 f. In the eight other cases where the word follows a short syllable, it gives that syllable 'position' (ϝρινόν). Hence a Scholiast well suggests here ὥς τε ῥινόν.

Vs. 282–332. *Poseidon sends upon Odysseus a tempest, which puts his life at hazard.*

282. **ἐξ Αἰθιόπων**: thither he had gone, acc. to α 22 f., to enjoy a sacrificial feast. Thither all the gods go A 423 f., Ψ 205 ff., as to the Phaeacians η 201 ff.

283. **Σολύμων**: a mythical tribe of Asia Minor, near Lycia. *Cf.* Z 204. Poseidon has reached the mountainous (ὀρέων) coast on his way from the eastern Ethiopians. — **εἴσατό οἱ**: *caught his eye*, *sc.* Odysseus as subj., from the preceding τόν.

πόντον ἐπιπλώων. ὁ δ' ἐχώσατο κηρόθι μᾶλλον,
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
"ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
ἀμφ' Ὀδυσῆι ἐμεῖο μετ' Αἰθιόπεσσιν ἐόντος·
καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
ἐκφυγέειν μέγα πεῖραρ ὀιζύος, ἥ μιν ἱκάνει.
ἀλλ' ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος."
ὣς εἰπὼν σύναγεν νεφέλας, ἐτάραξε δὲ πόντον
χερσὶ τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας
παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψεν

284. For the first hemistich, *cf.* Γ 47 (-σας). — The formulaic κηρόθι μᾶλλον always follows an expression of love or anger.

285 = 376; Ρ 442. The formula introduces a soliloquy. For the more frequent form, see on 298. *Cf.* 'Bless the Lord, O my soul!' — **κινήσας κάρη**: a mark of suppressed displeasure. *Cf.* ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων ρ 465 = 491 = υ 184.

286. The first hemistich occurs also δ 169, 333 = ρ 124, ι 507 = ν 172, λ 436, ν 383, Χ 297, 373. — **μετεβούλευσαν**: *changed their plan.* The force of μετα- is renewed in the pred. adv. ἄλλως (*to another*).

288. **καὶ δή**: *and lo!* — **σχεδόν**: *sc.* ὅ γ' ἐστί.

289. **πεῖραρ**: *acme, climax*, through the primary meaning *end* or *issue* (τέλος), seen in πείρατα γαίης δ 563, πείρατ' ἀέθλων ψ 248. For a third meaning (*implements*), *cf.* πείρατα τέχνης γ 433. The transitions of meaning which the word undergoes are well discussed by Merry and Riddell on μ 51. — **ἥ μιν ἱκάνει**: *which is come upon him*, as in σ 81. *Cf.* πένθος Ἀχαιίδα γαῖαν ἱκάνει Α 254.

290. **ἔτι**: join with φημὶ ἐλάαν *still I propose, etc.* *Cf.* what Lucian's Poseidon says to Cyclops about Odysseus: ἀμυνοῦμαι (*I will punish*) γὰρ αὐτόν, ὡς μάθῃ ὅτι . . . τὰ γοῦν τῶν πλεόντων ἐπ' ἐμοί ἐστι· πλεῖ δὲ ἔτι. *Dial. Marin.*, p. 294. — **ἅδην ἐλάαν κακότητος**: *to drive him into sufficient trouble.* The gen. is best considered as dependent on the substantival adv. ἅδην, as in οὐ λήξω πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο Τ 423, οἵ μιν ἅδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο Ν 315. This adv. occurs only once besides in Homer, εἰωθότες ἔδμεναι ἅδην Ε 203. 'It would seem that the consciousness of ἅδην as originally an acc. can never have been quite lost.' This lurking substantival force may also be seen in the παρεόντος ἅδην of Theocr. xvii. 10. *Cf.* ἅδην εἶχον κτείνοντες Hdt. ix. 39. See Leaf on Ν 315.

293. The first hemistich occurs also in 305, Β 397, Ρ 56; the second ι 68 = μ 314. — **σύν**: adv. with κάλυψεν, *together*, *i.e. completely.*

γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.
σὺν δ᾽ Εὖρός τε Νότος τ᾽ ἔπεσον Ζέφυρός τε δυσαὴς
καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.
καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
" ὤ μοι ἐγὼ δειλός. τί νύ μοι μήκιστα γένηται;
δείδω, μὴ δὴ πάντα θεὰ νημερτέα εἶπεν,
ἥ μ᾽ ἔφατ᾽ ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
ἄλγε᾽ ἀναπλήσειν· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.
οἵοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν

294 = ι 69, μ 315. — **ὀρώρει**: *was come*, the plpf. denoting suddenness. *Cf.* ponto nox incubat atra Verg. *Aen.* i. 89.

295. **σὺν ἔπεσον**: *rushed together*. *Cf.* μισγομένων ἀνέμων 317, and una Eurusque Notusque ruunt Verg. *Aen.* i. 85. — **δυσαής**: the Homeric Zephyrus is cold and stormy, except in such mythical places as Elysium, where it is a cooling breeze (δ 567 f.), and Phaeacia, where it ripens fruit (η 119).

296. **αἰθρηγενέτης**: *aether-born*. The compound has passive meaning, like the epith. of the gods αἰειγενέτης β 432. It describes a cold wind descending upon the sea from a mountainous height. Different is the οὖρος sent by Calypso (268), though this must have blown from nearly the same quarter as Boreas.

297 = 406, χ 147. — **γούνατα**: the focus of bodily vigor in Homer, affected at once by pain or passion in the heart (δ 703, σ 212), as here by weariness and fear.

298 = 355, 407, 464, Λ 403, Ρ 90, Σ 5, Υ 343, Φ 53, 552, Χ 98. See on 285.

299. The first hemistich occurs also in Σ 54 (δειλή), the second in 465. — **μήκιστα**: *at last* (lit. *longest*). *Cf.* quid iam misero mihi denique restat Verg. *Aen.* ii. 70. — **γένηται**: for the subjv., see on 465.

300. **εἶπεν**: the only instance in Homer of the indic. after μή with a verb of 'fearing.' G. 1380; H. 888; GMT. 369, 3. The real ground of fear lies in the pred. adj., '*that all the goddess said was true*.' English idiom often thus requires the Greek pred. adj. in a main sent., and the Greek main verb in a rel. sentence.

301. **ἔφατο**: *cf.* 206 ff. — For the second hemistich, see on 207.

302. The second hemistich occurs also β 176, ν 178 after the masc. caesura; after the fem. caesura the δέ is omitted, as in σ 271 = Β 330 = Ξ 48.

303 f. **οἵοισιν**: introduces an excl., like ὡς, with which force it may be continued through the two following clauses. — **περιστέφει, ἐπισπέρχουσι**:

Ζεύς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ' ἄελλαι
παντοίων ἀνέμων. νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ' ὄλοντο
Τροίῃ ἐν εὐρείῃ χάριν Ἀτρεΐδῃσι φέροντες.
καὶ δὴ ἐγώ γ' ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
ἤματι τῷ, ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέρριψαν περὶ Πηλεΐωνι θανόντι·
τῷ κ' ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·

the pres., as contrasted with the aor. ἐτάραξε (304), answers completely to the impf. in 291 f.

304. Ζεύς: see on 176.

305. The second hemistich occurs also in χ 28, N 773 (τοί). — **σῶς**: *assured, sc.* ἐστί. — **αἰπύς**: *sheer.*

306 f. *Cf.* ὄλβιε Πηλέος υἱὲ . . . | ὃς θάνες ἐν Τροίῃ ἑκὰς Ἄργεος ω 36 f. The thought in Trojan version is O terque quaterque beati, | quis ante ora patrum Troiae sub moenibus altis | contigit oppetere! Verg. *Aen.* i. 94 ff. — **χάριν Ἀτρεΐδῃσι φέροντες**: "in the service of the Atreidae." — The bucolic verse-close of 306 occurs also δ 98, followed by the first hemistich of 307. This latter occurs also α 62, Ω 256, 494.

308. καὶ . . . θανέειν: *lo! I also ought to have died, i.e. would that I had.* The formula is here in transition to its later usage, as in θ 312. *Cf.* ὡς ὄφελον θανέειν κτλ. ξ 274. The second hemistich occurs also δ 562, μ 342, H 52 (θανεῖν after a fem. caesura).

309. ἤματι τῷ ὅτε: the formula occurs also ν 19, ψ 252, and about twenty times in the *Iliad.* — **πλεῖστοι**: *in greatest numbers*, a pred. use of the adj., like πολλή 323.

310. περί: *about, i.e. contending for, over. Cf.* περὶ οἷσι μαχειόμενος κτεάτεσσιν ρ 471. See M. 186. In the *Iliad*, the friends and foes of the fallen warrior fight to secure his body and his armor. The seventeenth book of the *Iliad* depicts such a struggle over the body of Patroclus. This struggle over the body of Achilles (see on γ 109 ff.) is alluded to at greater length in ω 37–42. It is thought by many to be the subject of the West pediment group from the temple of Athene at Aegina, now in the Museum at Munich ('Aegina Marbles'). See Baumeister's *Denkmäler*, p. 334.

311. τῷ: *in that case*, resuming the preceding wish as a condition. — **κτερέων**: *burial rites.* These consisted originally in burning some of the possessions of the deceased on the funeral pyre with his body — ἐπὶ κτέρεα κτερεΐξαι α 291. — **κλέος ἦγον**: *would be carrying*, wherever they went, *i.e. spreading*, or *cherishing.* The force of κέ still continues. *Cf.* τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσιν | πάντας ἐπ' ἀνθρώπους τ 333.

νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
ὣς ἄρα μιν εἰπόντ' ἔλασεν μέγα κῦμα κατ' ἄκρης
δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξεν.
τῆλε δ' ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξεν
δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα,
τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε πολὺν χρόνον, οὐδὲ δυνάσθη
αἶψα μάλ' ἀνσχεθέειν μεγάλου ὑπὸ κύματος ὁρμῆς·
εἵματα γάρ ῥ' ἐβάρυνε, τά οἱ πόρε δῖα Καλυψώ.
ὀψὲ δὲ δή ῥ' ἀνέδυ, στόματος δ' ἐξέπτυσεν ἅλμην
πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρατὸς κελάρυζεν.
ἀλλ' οὐδ' ὣς σχεδίης ἐπελήθετο τειρόμενός περ,
ἀλλὰ μεθορμηθεὶς ἐνὶ κύμασιν ἐλλάβετ' αὐτῆς,

312 = Φ 281, Achilles attacked by Scamander. *Cf.* ω 34 (νῦν δ' ἄρα σ' οἰκτίστῳ κτλ.). — **νῦν**: *as it is*, assuming the opposite of an imaginary case just cited. — **λευγαλέῳ**: *sorry*, expressing the warrior's disdain of a death by drowning, as in Φ. — **εἵμαρτο**: *it was fated, viz.* at my birth. The tense is adapted to the time of the preceding unattainable wish.

313. The first hemistich occurs also Π 502 = 855 = Χ 361. — **ἔλασεν**: *smote*, as in 367. — **κατ' ἄκρης**: *down from on high*. *Cf.* ingens a vertice pontus Verg. *Aen.* i. 114. Elsewhere in Homer the phrase means *utterly*.

314. **δεινόν**: adv., as in 403.

316. **προέηκε**: *cast, i.e. dropped*. The involuntary act was so sudden and violent as to seem purposed. — **μέσον**: *in the middle*, pred. adj. with the force of a local adverb.

318. **σπεῖρον**: *canvas*, the φάρεα, ἱστία of 258 f.

319. **ὑπόβρυχα**: metaplastic acc. sing. of μετάβρυχος, as if from a nom. ὑπόβρυξ. With θῆκε, *put under water*. *Cf.* ὥστε Θεσσαλίην γενέσθαι ὑπόβρυχα Hdt. vii. 130. — **θῆκε**: *sc.* κῦμα (313) as subject.

320. **ἀνσχεθέειν** (ἀνέχω): *to get himself up, to rise*. — **ὑπὸ** κτλ.: *from under the billow's onslaught*.

322. **ὀψὲ δὲ δή**: *but lo! at last;* a formula which opens the verse six times in the *Iliad*, and eight times in the *Odyssey*.

323. **πολλή**: *in abundance*, pred. adj. for adverb. *Cf.* πλεῖστοι, 309.

325. **μεθορμηθείς**: *lunging after it*. — **αὐτῆς**: almost completely anaphoric.

ἐν μέσσῃ δὲ καθῖζε τέλος θανάτου ἀλεείνων.
τὴν δ' ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης φορέῃσιν ἀκάνθας
ἂμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται,
ὣς τὴν ἂμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα·
ἄλλοτε μέν τε Νότος Βορέῃ προβάλεσκε φέρεσθαι,
ἄλλοτε δ' αὖτ' Εὖρος Ζεφύρῳ εἴξασκε διώκειν.
τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ καλλίσφυρος Ἰνώ,

326. **τέλος θανάτου**: *the issue of death*, equiv. to θάνατον.

327. **μέγα κῦμα**: collectively. The great waves bore the wreck, each with its own current (κατὰ ῥόον), back and forth (ἔνθα καὶ ἔνθα), for there was a conflict of many winds, and a maze of cross currents.

328. **ὀπωρινός**: equiv. to an expression of time, *in late summer*. — **φορέῃσιν**: as φορέω is a frequentative of φέρω, this is equiv. to φέρῃσιν ἔνθα καὶ ἔνθα.

329. **πυκιναὶ . . . ἔχονται**: masses of thistle-down clinging together are suggested by the fragments of the barge which still hold together.

330. **ἂμ πέλαγος**: in closest responsion to ἂμ πεδίον. For the lengthening of the last syllable in thesis, favored by ictus and pause, see 41 *p*; M. 375.

331 f. **φέρεσθαι**: *for him to carry along*. So διώκειν *for him to chase*. — **εἴξασκε** (εἴκω): *would surrender*, trans. only here and in εἶξαί τε οἱ ἡνία χερσίν Ψ 337.

Vs. 333–381. *Leucothea gives Odysseus a magic swimming-scarf, with which, after his float goes wholly to pieces, he launches out to swim to land.*

333 f. **Ἰνώ, Λευκοθέη**: the first is her name as a mortal, the second as an immortal. She is the only example in Homer of a mortal translated to full divinity. According to the legend, Ino leaped into the sea with her son Melicertes, to save him from his frenzied father Athamas. Both received divine honors, as Leucothea and Palaemon, at more than one place on the Greek coast. *Cf.* ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ, | δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ Eur. *Iph. Taur.* 270 f. Her name suggests the λευκὴ γαλήνη of κ 94, and it is natural to connect this beneficent sea-goddess, the preserver of shipwrecked sailors, with the calm that succeeds the storm. *Cf.* 'By Leucothea's lovely hands, | And her son that rules the strands' Milton, *Comus*, 875. — **αὐδήεσσα**: *speechful*, *i.e.* endowed with human speech, a characteristic which would naturally distinguish mortals from immortals. *Cf.* ἀνθρώπων αὐδηέντων ζ 125. Every feature in the life of the immortals is specialized, their food, drink, and even their language. *Cf.* κ 305, Α 403 f., Ε 340 ff. Calypso and Circe, however, though always goddesses, have human speech

Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
νῦν δ᾽ ἁλὸς ἐν πελάγεσσι θεῶν ἒξ ἔμμορε τιμῆς.
ἥ ῥ᾽ Ὀδυσῆ᾽ ἐλέησεν ἀλώμενον ἄλγε᾽ ἔχοντα·
αἰθυίῃ δ᾽ εἰκυῖα ποτῇ ἀνεδύσετο λίμνης,
ἷζε δ᾽ ἐπὶ σχεδίης πολυδέσμου εἶπέ τε μῦθον·
"κάμμορε, τίπτε τοι ὧδε Ποσειδάων ἐνοσίχθων
ὠδύσατ᾽ ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
οὐ μὲν δή σε καταφθίσει μάλα περ μενεαίνων·
ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
εἵματα ταῦτ᾽ ἀποδὺς σχεδίην ἀνέμοισι φέρεσθαι

(*cf.* δεινὴ θεὸς αὐδήεσσα κ 136, μ 449), *i.e.* they talk like mortals and not like goddesses (οἱωνεὶ φωνὴν μετειληφυίας Arist.). They also sing (ε 61, κ 221). When Achilles' horse Xanthus answers his master's rebuke, αὐδήεντα δ᾽ ἔθηκε θεὰ λευκώλενος Ἥρη Τ 407.

335. ἁλὸς ἐν πελάγεσσι: *amid the beating* (πλήσσω) *waves of the sea*, whence she rescues mortals. — **θεῶν ἒξ ἔμμορε τιμῆς**: *gets her share of honor*, *i.e. is duly honored of the gods*, '*shares the gods' honors.*' The gods regard and honor her as one of themselves.

336. ἄλγε᾽ ἔχοντα: *in distress*, describes the manner of ἀλώμενον.

337. αἰθυίῃ: *petrel.* — **δ᾽ εἰκυῖα**: nowhere else in Homer is the ϝ of this partic. ignored. *Cf.* 353. — **ποτῇ**: *in flight*, a use of the dat. for which there is no good parallel in Homer. The word occurs only here. The Scholia suggest that it may have been used as an adj. with αἰθυίῃ, '*like a petrel on the wing.*' In any case, no transformation is meant. See on 51. — **ἀνεδύσετο**: the mid. is used only here with the gen., though we have ἀνέδυ πολιῆς ἁλός Α 359. The first aor. mid. is often used without difference of meaning from the second aor. active (§ 32 *b*). — **λίμνης**: inappropriately used of the stormy high seas. — Most editors reject the verse.

338. εἶπέ τε μῦθον: see on θ 302.

339 f. ὧδε . . . ὠδύσατο ἐκπάγλως: *conceived such fearful wrath.* The aor. is inceptive (H. 841). Perhaps the verb plays on the name Odysseus, as in 423, α 62, τ 275. *Cf.* πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ᾽ ἱκάνω | τῷ δ᾽ Ὀδυσεὺς ὄνομ᾽ ἔστω ἐπώνυμον τ 407, 409, where Autolycus, the grandfather, gives the name. — **ὅτι**: *in that, that*, introducing an explanation of ὧδε, and so equiv. to a particle of result.

342 = ζ 258 (ἔρδειν). — **ἀλλὰ μάλα**: *but by all means*, as in 360; with neg., *but by no means*, 358. — **δοκέεις δέ**: a reason for the command, in parataxis. — **οὐκ ἀπινύσσειν**: *not to be indiscreet*, 'litotes.'

343. φέρεσθαι: as in 331.

κάλλιπ', ἀτὰρ χείρεσσι νέων ἐπιμαίεο νόστου
γαίης Φαιήκων, ὅθι τοι μοῖρ' ἐστὶν ἀλύξαι.
τῆ δέ, τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι
ἄμβροτον· οὐδέ τί τοι παθέειν δέος οὐδ' ἀπολέσθαι.
αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
ἂψ ἀπολυσάμενος βαλέειν εἰς οἴνοπα πόντον
πολλὸν ἀπ' ἠπείρου, αὐτὸς δ' ἀπονόσφι τραπέσθαι."
ὣς ἄρα φωνήσασα θεὰ κρήδεμνον ἔδωκεν,
αὐτὴ δ' ἂψ ἐς πόντον ἐδύσετο κυμαίνοντα
αἰθυίῃ ἐικυῖα· μέλαν δέ ἑ κῦμα κάλυψεν.
αὐτὰρ ὁ μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,

344 f. κάλλιπε: from καταλείπω. — **νόστου**: the word has here its general meaning of *arrival at, passage to, 'landing on,'* as in δ 519, νόστον βάρβαρον ἦλθον Eur. *Iph. Taur.* 1112. It is here followed by an obj. gen., as in νόστον Ἀχαιίδος ψ 68, γῆς πατρῴας νόστος Eur. *Iph. Taur.* 1066. Its own gen. is due to ἐπιμαίεο *make for*, as in σκοπέλου ἐπιμαίεο μ 220.

345. *Cf.* 280.

346. τῆ: *here!* An imv. of the root τα (τείνω), for τάθι, as ἵστη for ἵσταθι. It is always intr., and followed by another imv., as in τῆ, πίε οἶνον ι 347. Here, the inf. τανύσσαι serves as imv. — **κρήδεμνον**: *head-band, scarf.* See on 232. This one has magic power, like the girdle of Aphrodite Ξ 214 ff., the wand of Hermes ε 47 f., and of Circe κ 238, or like *moly*, the 'white flower of a blameless life,' κ 302 ff.

347. οὐδὲ . . . δέος: *and (then) there is no fear, etc.*, a conclusion whose condition is obedience to the preceding command. The τὶ is best taken with παθέειν as a euphemism for death, explained indeed by ἀπολέσθαι.

348. ἐφάψεαι: aor. subjv., equiv. to our fut. perfect.

349. ἀπολυσάμενος: *loosing (it) from off thee. Cf.* 459.

350. πολλὸν ἀπό: *far away from. Cf.* ζ 40. — **αὐτὸς . . . τραπέσθαι**: *but do thou thyself avert thy gaze*, as in awe before any expected manifestation of divine power. So the same hemistich is used in κ 528. *Cf.* ἂψ δὲ νεέσθω | ἄστρεπτος Theoc. xxiv. 93 f. Odysseus is not expressly said to observe this command (460 ff.).

352. *Cf.* ὣς εἰποῦσ' ὑπὸ πόντον κτλ. δ 425=570, λ 253.—**κυμαίνοντα**: found only thus at the close of the verse, in formulaic usage. It serves as a descriptive epithet (not proleptic, ὥστε κυμαίνειν). *Cf.* Vergil's se iactu dedit aequor in altum *Georg.* iv. 528.

353. The second hemistich occurs also Ψ 693, of a fish after its leap into the air.

354. The first hemistich occurs also K 503; for the second, see on 171.

ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤ μοι ἐγώ, μή τίς μοι ὑφαίνῃσιν δόλον αὖτε
ἀθανάτων, ὅτε με σχεδίης ἀποβῆναι ἀνώγει.
ἀλλὰ μάλ' οὔ πω πείσομ', ἐπεὶ ἑκὰς ὀφθαλμοῖσιν
γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι.
ἀλλὰ μάλ' ὧδ' ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
ὄφρ' ἂν μέν κεν δούρατ' ἐν ἁρμονίῃσιν ἀρήρῃ,
τόφρ' αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
νήξομ', ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον."
εἷος ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
ὦρσε δ' ἐπὶ μέγα κῦμα Ποσειδάων ἐνοσίχθων,
δεινόν τ' ἀργαλέον τε, κατηρεφές, ἤλασε δ' αὐτόν.

355 = 298.

356. **μή τις ὑφαίνῃσιν**: after an excl. implying fear. — **αὖτε**: *again*, as he angrily thinks them to have done before. It may, however, mean simply *for the future*. See on θ 444.

357. **ὅτε**: *when*, and therefore *since* she bids me, the temporal conj. marking a simpler mode of thought.

358 f. **ἑκάς**: pred., with emphasis; *too far off to the view was the land I caught sight of*, *i.e.* too far for him to swim thither unaided. — **φύξιμον εἶναι**: *there was way of escape*. The neut. adj. is used as pred. substantive. See on θ 299.

360. An echo of 342.

361. **ὄφρ' ἂν μέν κεν**: this formula occurs also ζ 259, Λ 187 (202), where Nauck plausibly suggests that ὄφρ' ἂν has been substituted for an apparently unmetrical ἕως (originally εἷος, 365, § 4 *i*). Aside from these passages we find ἄν κεν together only ι 334, N 127, Ω 437, and here the ἄν is prob. not original. A double κέ occurs only δ 733. Attic Greek, however, freely doubles its modal particle ἄν. See M. 362 *ad fin.* — **ἁρμονίῃσιν**: see on 248. — **ἀρήρῃ**: lit. *fit* (ἀραρίσκω), *i.e.* remain in their proper places, *hold firm*.

362. **αὐτοῦ**: *right here*, intensive. — **πάσχων**: concessive.

363. **διά**: adv., with τινάξῃ, *in pieces*.

364. **ἐπεί**: the final syllable does not blend as usual with the following οὐ in synizesis, because it has the ictus in thesis. So in θ 585. — **οὔ τι πάρα ἄμεινον**: *there is nothing better*.

365 = δ 120, ε 424, A 193, Λ 411, P 106, Σ 15. — **εἷος**: earlier form for ἕως. See on 123. The first four feet occur also K 507.

366. **δέ**: *then*, in temporal apodosis (§ 3 *n*).

367. For the first hemistich, see on 175.

ὡς δ' ἄνεμος ζαὴς ἠίων θημῶνα τινάξῃ
καρφαλέων· τὰ μὲν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ·
ὣς τῆς δούρατα μακρὰ διεσκέδασ'. αὐτὰρ Ὀδυσσεὺς
ἀμφ' ἑνὶ δούρατι βαῖνε, κέληθ' ὡς ἵππον ἐλαύνων,
εἵματα δ' ἐξαπέδυνε, τά οἱ πόρε δῖα Καλυψώ.
αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν,
αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε χεῖρε πετάσσας,
νηχέμεναι μεμαώς. ἴδε δὲ κρείων ἐνοσίχθων,
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
"οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
εἰς ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγείῃς.
ἀλλ' οὐδ' ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος."
ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους,

368 f. **ἠίων θημῶνα**: *a shock of grain.* The gen. occurs only here, and must be scanned as disyllabic. A Scholiast, connecting the word with ἦα (266), says καὶ τὰ ἄχυρα (*chaff*) σιτία ζῴων τινῶν εἴη. But the word denotes rather the grain in the stalk and ear, cured (καρφαλέων) and ready for threshing. In the simile from the winnowing process E 499 ff., ἄχναι is *chaff*, and ἀχυρμιαί *chaff-heaps.*

369. **τὰ μὲν ἄρ τε**: in such a dem. sent. following the subjv. of a simile, the τέ has a deictic force (*these there*), which marks the statement as general or indefinite. M. 332. — **ἄλλυδις ἄλλῃ**: see on 71.

370. **τῆς**: *sc.* σχεδίης. — **διεσκέδασε**: *sc.* κῦμα as subject.

371. **ἀμφὶ . . . βαῖνε**: *bestrode.* See on 130. — **κέληθ' . . . ἐλαύνων**: *as if riding a racer.* Ordinary riding on horseback, either in peace or war, is not mentioned in Homer. For another reference to professional riding, *cf.* O 679 ff., and for the bareback ride of Odysseus and Diomedes on the horses of Rhesus, ἐξ ἀνάγκης, K 513 ff.

374. **πρηνὴς . . . πετάσσας**: graphically describes a good dive, a 'header.'

376 = 285.

377. **οὕτω νῦν**: like the English 'there now!' — **ἀλόω**: pres. imv. of ἀλάομαι (§ 29 *c*).

378. **εἰς ὅ**: *i.e.* εἰς τοῦτο ἐν ᾧ, equiv. to εἰς ὅτε, *until* (β 99). — **διοτρεφέεσσι**: *cf.* 35.

379. **ὀνόσσεσθαι κακότητος**: *wilt find fault with thy calamity*, *i.e.* disparage it, think it a slight one (*cf.* 290). The gen. is causal (*cf.* ἦ ὄνοσαι ὅτι τοι βίοτον κατέδουσιν; ρ 378), and the whole verse a kind of grim 'litotes' — "I am sure thou wilt find this enough."

380 = Λ 531. *Cf.* ο 215 (ἔλασεν).

ἵκετο δ' εἰς Αἰγάς, ὅθι οἱ κλυτὰ δώματ' ἔασιν.
  αὐτὰρ Ἀθηναίη κούρη Διὸς ἄλλ' ἐνόησεν.
ἦ τοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους,
παύσασθαι δ' ἐκέλευσε καὶ εὐνηθῆναι ἅπαντας·
ὦρσε δ' ἐπὶ κραιπνὸν Βορέην, πρὸ δὲ κύματ' ἔαξεν,
ἕως ὅ γε Φαιήκεσσι φιληρέτμοισι μιγείη
διογενὴς Ὀδυσεὺς θάνατον καὶ κῆρας ἀλύξας.
  ἔνθα δύω νύκτας δύο τ' ἤματα κύματι πηγῷ
πλάζετο, πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον.

381. Αἰγάς: a seat of the cultus of Poseidon, prob. in Achaia. *Cf.* *Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης* N 21.

Vs. **382–423.** *With Athene's aid, Odysseus, after two days of swimming, comes near the rocky coast of Phaeacia (Scheria).*

382. A formula of transition. See on β 382.

383. κατέδησε κελεύθους: *fastened, i.e. closed up the courses.* *Cf.* η 272, *ἔνθα δὲ βυκτάων* (*roaring*) *ἀνέμων κατέδησε κέλευθα* κ 20.

384. εὐνηθῆναι: *to go to rest.* A kindred metaphor is contained in *ὄφρ' εὕδησι μένος Βορέαο καὶ ἄλλων | ζαχρηῶν* (*raging*) *ἀνέμων* E 524 f., and *κοιμήσας δ' ἀνέμους* M 281.

385. ἐπί: adv., with *ὦρσε*. — **Βορέην**: now a fresh breeze from nearly the same quarter as the *οὖρος* sent by Calypso. As a storm wind, in conflict with the other winds, it had helped to raise the sea. Now it lays it, and wafts Odysseus onward.—**πρό**: *in front* of the swimming Odysseus.

386. *Cf.* 378. — **ἕως**: sometimes denotes purpose or expectation in the *Odyssey*, as often in Attic. *Cf.* δ 800, ζ 80, ι 376, τ 367. G. 1467; H. 921; GMT. 614, 2. It is here pronounced with synizesis. See on 123.

387 = β 352. The second hemistich occurs also χ 66 (-ξῃ), Φ 565 (-ξαι).

388. The first four feet occur also ι 74, where the verse-close is *συνεχὲς αἰεί*. — **νύκτας, ἤματα**: this relative order, the opposite of the natural order in English, is constant in Homer; and while it may in some measure be due to metrical demands, it shows a habit of reckoning time from night on, like most oriental peoples, the Gauls (Caes. *B. G.* vi. 18: spatia omnis temporis non numero dierum, sed noctium finiunt, *etc.*) and Germans (Tac. *Germ.* xi.: nec dierum numerum, ut nos, sed noctium computant; . . . nox ducere diem videtur). *Cf.* the formula in *Gen.* i.: 'and it was evening, and it was morning,' *etc.* — **κύματι πηγῷ**: *on mighty wave* (collective). The same verse-close occurs also in ψ 235. For the adj., *cf.* *κύματά τε τροφόεντα* γ 290 (Bekker), *τρόφι κῦμα* Λ 307.

389. πολλά: *oft.* *Cf.* *πολλὰ* (*much*) | *πλάγχθη* α 1 f. — **προτιόσσετ' ὄλε-**

ἀλλ' ὅτε δὴ τρίτον ἦμαρ ἐυπλόκαμος τέλεσ' Ἠώς,
καὶ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη
ἔπλετο νηνεμίη· ὁ δ' ἄρα σχεδὸν εἴσιδε γαῖαν
ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύματος ἀρθείς.
ὡς δ' ὅτ' ἂν ἀσπάσιος βίοτος παίδεσσι φανήῃ
πατρός, ὃς ἐν νούσῳ κῆται κρατέρ' ἄλγεα πάσχων,
δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
ἀσπάσιον δ' ἄρα τόν γε θεοὶ κακότητος ἔλυσαν,
ὣς Ὀδυσεῖ ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕλη,
νῆχε δ' ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι.
ἀλλ' ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,

θρον: *stood face to face with death.* In ξ 219, the same phrase implies hesitating fear of death. *Cf.* ὀσσόμενος πατέρ' ἐσθλὸν ἐνὶ φρεσὶν of Telemachus dreaming of his father α 115.

390 = ι 76, κ 144. — **τέλεσε**: *fully ushered in.* See on 2.

391 = μ 168 (αὐτίκ' ἔπειτ'). — **ἡ δὲ γαλήνη**: in strong demonstrative contrast with ἄνεμος μέν, *the ensuing calm.*

392. The first hemistich occurs also μ 169. — **νηνεμίη**: plainly a subst. in νεφέλῃσιν ἐοικότες, ἅς τε Κρονίων | νηνεμίης ἔστησεν Ε 522 f. Possibly it is so here, in descriptive appos. with γαλήνη.

